www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΑΓΙΟΥ & ΕΝΔΟΞΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ
# ΑΓΑΘΑΓΓΕΛΟΥ,
## ΤΟΥ ΕΝ ΜΟΝΑΣΤΗΡΙ ͺΩ
## ΤΗΣ ΜΑΚΕΔΟΝΙΑΣ ΑΘΛΗΣΑΝΤΟΣ

(ἑορταζομένου δὲ τῇ 27ῃ Φεβρουαρίου)




Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος
ὑπὸ
Ἀθανασίου ἱερομονάχου Σιμωνοπετρίτου,
Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας,
προνοίᾳ τοῦ Παν/του ἀρχιμανδρίτου κ.Συμεών,
Καθηγουμένου Ἱ.Μ. Ἁγίου Γεωργίου Μαυροβουνιώτου
εἰς Λάρνακα Κύπρου

* 2002 *

www.tezaurliturgic.ro



### Τῌ ΚΖ΄ ΤΟΥ ΜΗΝΟΣ ΦΕΒΡΟΥΑΡΙΟΥ
### ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ ΑΓΑΘΑΓΓΕΛΟΥ,
### ΤΟΥ ΕΝ ΜΟΝΑΣΤΗΡΙῼ ΤΗΣ ΜΑΚΕΔΟΝΙΑΣ ΑΘΛΗΣΑΝΤΟΣ

* * *

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

*Ἱστῶμεν στίχους καὶ ψάλλομεν τὰ ἀκόλουθα προσόμοια.*
*Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Ἐν τῆς δουλείας τῷ σκότει,
ἥλιος ἔλαμψας,
πιστοὺς καταλαμπρύνας,
καὶ ἀπίστους αἰσχύνας,
μεγάλῃ παῤῥησίᾳ
Υἱὸν Θεοῦ,
τὸν Χριστόν, Ἀγαθάγγελε,
ὁμολογήσας ἐνώπιον ἀσεβῶν,
καὶ λουσθεὶς ἰδίῳ αἵματι.

Τὴν σκοτεινόμορφον πλάνην,
ἀγαρηνῶν, ἀθλητά,
καιρίως ἀπελέγξας,
καὶ τὴν τούτων μανίαν,
μὴ φέρων ἀνηνέχθης πάσῃ χαρᾶ,
ὡς Χριστοῦ θεῖον σφάγιον,
καὶ Ἐκκλησίας τὸ κλῆμα αἵματι σῷ,
Ἀγαθάγγελε, ἐπότισας.

Φιλαδελφίαν γνησίαν,
ἐπιδεικνὺς ἐν Χριστῷ,
οὐκ ἔφερες τοῦ βλέπειν,

χριστωνύμους ἐν βίᾳ,
ἀσπάσασθαι θρησκείαν Ἄγαρ γραός,
Ἀγαθάγγελε ἔνδοξε,
ἐνδίκως πᾶσαν ἐκίνησας μηχανήν,
ἀσεβῶν λύσας κακόνοιαν.

Ἐν οὐδενὶ ἄλλῳ ἔστιν,
ἢ ἐν Χριστῷ Ἰησοῦ,
ἡ σωτηρία, ἔφης,
Ἀγαθάγγελε μάκαρ,
πιστοῖς Μωάμεθ πλάνου,
οἳ ἐν ὀργῇ,
σὲ σφαγῇ καθυπέβαλον,
δι᾽ ἧς ἀνῆλθες εἰς πλάτη τοῦ οὐρανοῦ,
πρὸς Χριστὸν Ὃν κατηγάπησας.

Δυναμωθεὶς τοῦ Κυρίου,
τοῖς θείοις ῥήμασι,
οὐδόλως ἐφοβήθης,
ἀποκτείνοντας σῶμα,
καὶ Πνεύματος Ἁγίου τῷ φωτισμῷ,
πλάνης σύστημα ἔῤῥηξας,
ὥσπερ ἱστὸν τῆς ἀράχνης,
λόγοις σοφοῖς,
Ἀγαθάγγελε χριστόψυχε.

Τὴν τῶν σεπτῶν σου λειψάνων,
θήκην πλουτίσαντες,
ὡς θησαυρὸν τρισμάκαρ,
Ἀγαθάγγελε μάρτυς,
ἐξ ἧς ἀντλοῦμεν χάριν τὴν ἐκ Θεοῦ,
καὶ ἀφώνως ἀκούομεν·
ἀντιδοξάζει ὁ Κύριος θαυμαστῶς,
τοὺς Αὐτὸν καλῶς δοξάζοντας.

*Δόξα. Ἦχος δ΄.*

Τῇ τοῦ Ἁγίου Πνεύματος δυνάμει,
ὡς σίδηρος ἐκπυρωθείς,
καὶ ζήλου θείου ἐμπλησθείς,
τῆς Ἄγαρ τὴν πλάνην κατεμυκτήρισας·
ὅθεν καὶ ἀποτμήσεως βαστάσας τὸν σταυρόν,
νῦν εὐφραίνῃ ἐν Χριστῷ,
τῷ ποθητῷ σοι Νυμφίῳ.
Αὐτὸν ἱκέτευε,
Ἀγαθάγγελε νεομάρτυς ἔνδοξε,
ὑπὲρ τῶν τιμώντων σε.

*Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός*
Ὁ διὰ σὲ θεοπάτωρ Δαβίδ.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον, Ἀναγνώσματα.*
*Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα*

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεὸς καὶ ὁ παῖς, ὃν ἐξελεξάμην. Ἵνα γνῶτε καὶ πιστεύσητέ μοι καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ ἅγιος Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα. Οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. Ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτῶν καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ

ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

*Ψάλλομεν στιχηρὰ ἰδιόμελα*

*Ἦχος α΄.*

Ἀγγελικὴν ἐπωνυμίαν κληρωσάμενος,
ἰσάγγελον τὴν πολιτείαν σου ἔδειξας,
νεομάρτυς Ἀγαθάγγελε·
πλάνην γὰρ τῆς Ἄγαρ ὀργῶσαν βλέπων,
ταύτης μηχανήμασι σοφοῖς ἀπήλλαξας,
τοὺς ἀδελφούς σου ἐν Χριστῷ.
Ὅθεν εἴληφας τὸ στέφος τῶν Μαρτύρων,
τῆς ἀφθάρτου ζωῆς μέτοχος γενόμενος.

*Ἦχος β΄.*

Ἀγαθή σου ἡ κλῆσις,
ἀλλὰ καὶ ἡ πρᾶξίς σου ὑπεράγαθος,
νεομάρτυς Ἀγαθάγγελε.
Τὰ γὰρ ἡδέα τοῦ κόσμου ἀρνησάμενος,
καὶ ἀπελέγξας τοῦ Μωάμεθ τὴν ψυχρολογίαν,
τῶν ἀγαθῶν τοῦ Παραδείσου μετέσχηκας,
ὑπὲρ Χριστοῦ ἀθλήσας προθυμότατα.

*Ἦχος γ΄.*

Τὸ δεινὸν τῆς δουλείας ἐπιτείνουσα ἡ βία,
ζυγὸς ἐπαχθέστατος τοῖς χριστωνύμοις ἐδείκνυτο·
τὸ γὰρ μέγιστον, τὴν πίστιν, κινδυνεύοντες,

ἄγγελον ἐξ οὐρανοῦ,
σὲ ἐφεῦρον, Ἀγαθάγγελε.
Τῇ σοφία γὰρ τοῦ Πνεύματος ἀνελὼν τὰς ἐχθροῦ μηχανάς,
ἀντείληφας τοῦ μίσους αὐτοῦ μισθόν,
τὸ ὑπὲρ Χριστοῦ τερπνὸν μαρτύριον,
καὶ χορεύεις γηθόμενος, σὺν Ἀσωμάτοις ἀείποτε.

*Ἦχος δ΄.*

Στερέμνιον τεῖχος καὶ βράχον ἀσάλευτον,
τὰ ἐπαφρίζοντα κύματα τῆς ἀγαρηνῶν δυσσεβείας,
εὗρόν σε, γενναῖε Ἀγαθάγγελε.
Οὕτω γὰρ ὁ πήλινος ἄνθρωπος δείκνυται,
πυρούμενος τῷ θείῳ ἔρωτι τοῦ Κυρίου,
ὑπὲρ Οὗ καὶ σὺ ἀθλήσας,
καὶ ὁμολογήσας Αὐτοῦ τὴν θεότητα,
μὴ παύσῃ πρεσβεύων,
ὑπὲρ τῶν τιμώντων σε, δεόμεθα.

*Δόξα. Ἦχος πλ.α΄.*

Τῆς διπλοειδοῦς ἀγάπης πληρωτὴς γενόμενος,
τῆς πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον,
νεομάρτυς Ἀγαθάγγελε,
τὸν μὲν Κύριον Θεὸν ὡμολόγησας,
τοὺς δὲ ἀδελφούς σου τῆς ἀρνήσεως ἀπέτρεψας,
εἰληφὼς γενναιοφρόνως,
τῆς διὰ Χριστὸν σφαγῆς τὸν στέφανον·
ὅθεν τοὺς τιμῶντάς σε διαφύλαττε τῆς πλάνης,
καὶ Παραδείσου πολίτας γενέσθαι καταξίωσον.

*Καὶ νῦν. Μακαρίζομέν σε.*

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

*Στιχηρὰ προσόμοια.*

*Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.*

Ὅτε ἀσεβείας ἡ ἀχλύς,

ὥσπερ δυσδιάλυτον νέφος,
κατεκυρίευε,
τότε, Ἀγαθάγγελε,
σὲ ὁ Φιλάνθρωπος,
ἀθλητὴν γενναιότατον,
ἀνέδειξε λόγοις,
κατακεραυνώσαντα Μωάμεθ ἄνοιαν·
ὅθεν ὡς ἀμνὸς χριστοφόρος,
ἤχθης πρὸς τὸν θάνατον χαίρων,
τὰ πεποθημένα κληρωσάμενος.

*Στίχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει...*

Ἄγγελος ἐδείχθης τοῖς πιστοῖς,
κατὰ τὴν ὁμώνυμον κλῆσιν,
ὦ Ἀγαθάγγελε,
τούτοις τὴν παράκλησιν,
διδοὺς τῆς Χάριτος·
σοῦ γὰρ πλάνην ἐλέγξαντος,
καὶ πίστιν Κυρίου,
ἐν δυνάμει Πνεύματος,
ἀνακηρύξαντος,
ὤφθης κλονουμένων ὁ στύλος,
καὶ τῶν ἀμφιβόλων θεῖον στήριγμα.
*Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου...*

Δοὺς θνητόν σου σῶμα τῷ Χριστῷ,
σὺν ταῖς ἀσωμάτων χορείαις,
σαφῶς ἠρίθμησαι,
μάρτυς Ἀγαθάγγελε,
καὶ εὗρες πλήρωσιν,
μυχαιτάτων καρδίας σου,
ἐν τῇ βασιλείᾳ,
οὐρανῶν, μακάριε,
ἔνθα μνημόνευε,
πάντας τοὺς τιμῶντάς σε πόθῳ,
καὶ ἀσπαζομένους λειψάνων,

θήκην σου πηγάζουσαν ἰάματα.

*Δόξα. Ἦχος πλ. β΄.*

Τῷ θείῳ ἔρωτι πυρωθείς σου τὴν ψυχήν,
καὶ τὸν θεσβίτου ζῆλον ἀναλαβὼν ἀνδρικῶς,
τῶν ὑποδούλων ἀδελφῶν σου,
ὑποστηρικτὴς γενναῖος ἀνεδείχθης,
Ἀγαθάγγελε νεομάρτυς·
τὴν πλάνην δὲ ἐλέγξας τοῦ ψευδοπροφήτου Μωάμεθ,
καὶ τὸν Χριστὸν Υἱὸν τοῦ Θεοῦ ἀνακηρύξας,
θανάτου ἐγεύσω διὰ ξίφους πικροῦ.
Νῦν δὲ εὐφραινόμενος ἐν οὐρανοῖς,
πρέσβευε ὑπὲρ ἡμῶν τῶν τιμώντων σε, δεόμεθα.

*Καὶ νῦν. Θεοτοκίον, ἦχος ὁ αὐτός. Ὁ ποιητὴς καὶ λυτρωτής .*
*Νῦν ἀπολύεις. Τρισάγιον κλπ. Ὅτι σοῦ ἐστιν.*

*Ἀπολυτίκιον. Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Εὐαγγελίου πληρωτὴς ἀνεδείχθης,
καλῶς ἀθλήσας, Ἀγαθάγγελε μάρτυς,
τὴν πλάνην τὴν ψυχώλεθρον τῆς Ἄγαρ καθελών·
ὅθεν καθικέτευε,
τὸν Δεσπότην δοθῆναι,
πᾶσι τοῖς τιμῶσί σου,
τὴν ὑπέρφωτον μνήμην,
ἀειφλεγῆ ἀγάπην πρὸς Αὐτόν,
καὶ σωτηρίαν,
αἰώνιον Ἅγιε.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Εἰς τὴν α´ στιχολογίαν. Κάθισμα.*
*Ἦχος α´. Τὸν τάφον σου, Σωτήρ.*

Τῶν πάλαι ἀθλητῶν
μιμησάμενος ζῆλον,
προσκαίρων ἡδονῶν,
οὐκ ἐθέλχθης παγίδι,
κλεινὲ Ἀγαθάγγελε,
ἀλλ᾽ ἐλέγξας δυσώνυμον,
πλάνην εἴληφας,
τῶν σῶν ἀγώνων τὸ στέφος,
καὶ ὁρᾷς Χριστοῦ,
τὸ ὑπερπόθητον κάλλος,
σὺν ἄνω Δυνάμεσι.

*Δόξα. Καὶ νῦν.*
*Θεοτοκίον, ὅμοιον.*

Ἡ μόνη τῶν πιστῶν,
κραταιὰ προστασία,
Ὃν ἔτεκες Θεόν,

ὑπὲρ νοῦν τε καὶ λόγον,
ἀπαύστως ἱκέτευε,
τὰς ψυχὰς ἡμῶν ῥύσασθαι,
πάσης θλίψεως,
καὶ συμφορῶν καὶ κινδύνων,
Μητροπάρθενε,
ἁμαρτωλῶν προστασία,
τοῦ κόσμου βοήθεια.

*Εἰς τὴν β΄ στιχολογίαν.*
*Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Χριστὸν κατέχων σου,
μόνον θησαύρισμα,
τούτου ἠνάλωσαι,
τῷ θείῳ ἔρωτι,
ὅθεν θανάτου ἀπειλήν,
οὐδόλως ἐδειλίασας,
ἀσεβῶν τὸ φρύαγμα,
θεολόγοις σου ρήμασι,
καθελὼν κατέστεψαι,
ἀθλητὰ Ἀγαθάγγελε,
τὴν πίστιν ὑποδούλων ὑφάψας,
τῇ γενναιότητι καρδίας σου.

*Δόξα. Καὶ νῦν.*
*Θεοτοκίον, ὅμοιον.*

Ὁ ὑπερούσιος,
Θεὸς καὶ Κύριος,
ἐκ σοῦ σεσάρκωται,
δι᾽ ἀγαθότητα,
τὸ καθ᾽ ἡμᾶς οὐσιωθείς,
καὶ μείνας ὅπερ πέφυκεν·
ὅθεν καὶ Θεάνθρωπον,
τοῦτον σέβοντες, Πάναγνε,
σὲ τὴν ἀπειρόγαμον,

www.tezaurliturgic.ro

Θεοτόκον κηρύττομεν,
δοξάζοντες τὸ μέγιστον θαῦμα,
τῆς σῆς ἀσπόρου κυήσεως.

*Μετὰ τὸν Πολυέλεον.*
*Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Εὐφροσύνης ᾄσμασιν,
Ἀγαθαγγέλου,
θείου νεομάρτυρος,
μνήμην τελοῦμεν εὐλαβῶς,
καὶ γὰρ αὐτὸς τὴν θεότητα,
Λόγου κηρύξας,
φαιδρῶς ἐμαρτύρησεν.

*Δόξα. Καὶ νῦν.*
*Θεοτοκίον, ὅμοιον.*

Ἐπελεύσει Πνεύματος,
τοῦ Παναγίου,
τοῦ Πατρὸς τὸν σύνθρονον,
καὶ ὁμοούσιον φωνῇ,
Ἁγνή, ἀγγέλου συνέλαβες,
Θεοκυῆτορ,
Ἀδὰμ ἡ ἀνάκλησις.

*Οἱ Ἀναβαθμοί· τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου. Ἐκ νεότητος μου.*

Προκείμενον· *Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*
Στίχος· *Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν αὐλαῖς αὐτοῦ ἐξανθήσει.*

Εὐαγγέλιον, *τοῦ Ὄρθρου τοῦ ἁγ. Γεωργίου.*

Ὁ Ν΄. *Ἐλέησόν με ὁ Θεός....*

Δόξα. *Ταῖς τοῦ ἀθλοφόρου.*
Καὶ νῦν. *Ταῖς τῆς Θεοτόκου.*
*καὶ τὸ ἰδιόμελον. Ἦχος πλ.β΄.*
*Στίχ. Ἐλεήσόν με ὁ Θεός....*
Τὸ ἐν οὐρανοῖς πολίτευμα ἐπιποθήσας,
τῶν κάτω σοφῶς κατεφρόνησας,
νεομάρτυς Ἀγαθάγγελε·
ὅθεν πρὸ ἀσεβῶν Χριστὸν ὁμολογήσας,
μαρτύρων καὶ ἀγγέλων συνόμιλος,
διὰ τῆς ξιφοτμήσεως γέγονας.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου...κλπ.*
*Ὁ Κανών, οὗ ἡ ἀκροστιχίς:*
"Ἀγαθαγγέλῳ νεομάρτυρι ὁ κανὼν οὗτος. Ἀ(θανάσιος)".

*Ὠδὴ α΄. Ἦχος πλ.δ΄. Ἁρματηλάτην φαραώ.*

Ἀγαθαγγέλου τὸ τερπνὸν μαρτύριον,
ἀνευφημήσωμεν,
καὶ ἐν θείοις ὕμνοις,
κατεγκωμιάσωμεν,
ἀγῶνας καὶ τὰ σκάμματα,
ἅπερ ἔτλη ὁ μέγας,
ὁμολογήσας θεότητα,
τοῦ Χριστοῦ τυράννων ἐνώπιον.

Γίνου πιστὸς ἄχρι θανάτου, ἅγιε,
ἀκηκοὼς τὸ Θεοῦ,
πάντων τῶν γηΐνων,
ἄρδην κατεφρόνησας,
καὶ προτιμήσας θάνατον,
δι' ἀγάπην Δεσπότου,
τὸν ἐπινίκιον στέφανον,
εἴληφας λαμπρῶς, Ἀγαθάγγελε.

Ἄγαρ τὴν πλάνην τὴν σκοτώδη ἤλεγξας,
ὡς θανατοῦσαν ψυχάς,

καὶ τοὺς λάτρας ταύτης,
θεῖε ᾿Αγαθάγγελε,
ἐν πλείστοις παραδείγμασι,
πλανωμένους ἐνδείξας,
αὐτῶν τὸ μῖσος ἐξήγειρας,
καὶ διὰ Χριστὸν ξίφει τέθνηκας.
*Θεοτοκίον*

Θεὸν τεκοῦσα ἐξ ἁγνῶν αἱμάτων σου,
σῶσαι θελήσαντα,
τὸ ἀνθρώπων γένος,
εἴληφας ὡς ἄξιον,
τὰ δευτερεῖα, Ἄχραντε,
τῆς Ἁγίας Τριάδος,
ἣν καθικέτευε πάντοτε,
ὑπὲρ τῶν πιστῶς γεραιρόντων σε.

*Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

᾿Αληθείας Κυρίου,
σωσιψυχοῦς γέγονας,
ὁμολογητής, Νεομάρτυς,
ἀκαταγώνιστος,
καὶ τὸ μυστήριον,
Οἰκονομίας τὸ μέγα,
πίστει διετράνωσας,
τοῖς συλλαβοῦσί σε.

Γηραιὰν πλάνην, Μάρτυς,
ἰσλαμισμοῦ ἤλεγξας,
ὡς γεννητικὴν ἀπωλείας,
τοῖς ταύτην σέβουσι,
καὶ διεκήρυξας,
πρὸ τῶν τυράννων γενναίως,
πίστιν τὴν ᾿Ορθόδοξον,
ὦ ᾿Αγαθάγγελε.

Γνησιώτατος ὤφθης,
συνεχιστής, Ἅγιε,
τῶν μαρτυρησάντων τὸ πάλαι,
διὰ τὸν Κύριον,
διὸ καὶ ἔτυχες,
τοῦ ἰσοτίμου βραβείου,
Παραδείσου οἴκησιν,
τὴν ὑπερπόθητον.

*Θεοτοκίον*

Ἐν νυκτὶ καὶ ἡμέρᾳ,
πρὸς τὸν Θεὸν ἔχοντες,
πρέσβιν ἀνεπαίσχυντον, Μῆτερ,
πιστῶς δεόμεθα·
ἀτρώτους φύλαττε,
ἐκ προσβολῶν τοῦ βελίαρ,
τοὺς ὁμολογοῦντάς σε,
Θεοῦ γεννήτριαν.

*Κάθισμα.*
*Ἦχος πλ.α΄. Τὸν συνάναρχον Λόγον.*

Τὰ ἡδέα τοῦ κόσμου καταπεφρόνηκας,
Ἀγαθάγγελε μάρτυς, διὰ τὸν Κύριον,
ὁμολογήσας κρατερῶς τὴν θεότητα,
αὐτοῦ πρὸ πλήθους ἀσεβῶν,
ὧν περ διήλεγξας σοφῶς,
τὴν πλάνην καὶ τὴν μανίαν·
διὸ καὶ ἔτυχες στέφους,
διὰ τοῦ ξίφους, ἀξιάγαστε.
*Δόξα. καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.*

Ἀπειρόγαμε Νύμφη καὶ ἀειπάρθενε,
σὺν τοῖς θείοις αὐτόπταις ἀνευφημοῦμέν σε,
ὅτι ἐν σοὶ ὁ Δυνατὸς μεγαλεῖα ἐποίησε,
δι᾽ ἡμᾶς γὰρ καθ᾽ ἡμᾶς,

ὁ πρὸ αἰώνων ἐκ Πατρός,
τῇ μήτρᾳ σου ἐνοικήσας,
εὐδόκησε γεννηθῆναι,
ἵνα ἐκ πλάνης σώσῃ τὸ γένος ἡμῶν.

*Ὠδὴ δ΄. Σύ μου ἰσχύς, Κύριε.*

Λαῷ Θεοῦ ἄγγελος,
Μάρτυς, γεγένησαι,
τῇ δουλείᾳ πλεῖστα ὑποφέροντι,
καὶ μηδαμῶς ἔχοντι ἰσχύν,
ἀλλὰ ὑπ' ἀνόμων,
ἐπειγομένου πρὸς ἄρνησιν,
τῆς πίστεως πατέρων,
οὕς τρόποις ἐξαιρέτοις,
ἐκ τοῦ κινδύνου σὺ ἐξήγαγες.

Ὡς Μωϋσῆς ἄλλος τις,
ὦ Ἀγαθάγγελε,
ὁμοπίστους δεινοτάτης θέσεως,
ἐξαγαγὼν εἴληφας μισθόν,
μίσους τῶν ἀθέων,
τὸν ποθητὸν θάνατον,
δι' οὗ πρὸς Ὃν ἠγάπας,
ἐν πτεροῖς κούφοις ἦλθες,
ἀπολαύων ὧν πρῴην ἐπόθησας.

Νοῦν τοῦ Χριστοῦ ἔχοντα,
Μάρτυς θεόψυχε,
οἱ δυνάσται οὐδαμῶς ἐκλόνησαν,
τεῖχος στεῤῥὸν γνώμης σου λαμπρᾶς,
πλεῖστα τοῦ παρόντος,
αἰῶνος καθυποσχόμενοι,
μὴ γνόντες σε πλουτοῦντα,
θησαυρὸν κεκρυμμένον,
ἐν ἀσύλοις ταμείοις Δεσπότου σου.

*Θεοτοκίον*

Ἐπὶ τῆς γῆς ἄλλη τις,
Κόρη Πανάμωμε,
οὐχ ὑπῆρξεν, ἀλλὰ οὔτε ἔσεται,
ὥσπερ σὺ ἧς πάντων τῶν καλῶν,
σύνταγμα ὡραῖον,
καὶ πλοῦτος ἀδιασάλευτος·
δι᾽ Ὃ καὶ ὁ Δεσπότης,
προελόμενος σῶσαι,
τῶν ἀνθρώπων τὸ γένος σοὶ ᾤκησεν.

*Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.*

Ὁ σαρκόψυχος ὄχλος,
ἐπιγόνων τῆς Ἄγαρ κακὰ εἰργάσαντο,
κατὰ ὑποδούλων,
ἀναγκάζοντες τούτους ἀρνήσασθαι,
τοῦ Κυρίου πίστιν,
ἀλλά σε εὗρον γωνιαῖον,
λίθον, μάρτυς, ἐν ᾧπερ προσέκοψαν.

Μὴ λαμβάνων κρατούντων,
τὴν ἀναίσχυντον δύναμιν, Ἀγαθάγγελε,
κατὰ νοῦν οὐδόλως,
ἐπτοήθης αὐτῶν μηχανήματα,
ἀλλὰ συνεργοῦντος,
σοὶ οὐρανίου Βασιλέως,
ὥσπερ χνοῦν ὁδιαῖον διέλυσας.

Ἀναστήσας τὸ πάλαι,
Δανιὴλ ὁ Δεσπότης Σωσσάναν ἔσωσε,
νῦν δὲ εὗρε ἄλλον,
δι᾽ οὗ πλάνης τῆς Ἄγαρ ἐῤῥύσατο,
τὸν δεδουλωμένον,
πιστὸν λαὸν Μοναστηρίου,
Δανιήλ, Ἀγαθάγγελε, χάριτος.

*Θεοτοκίον*

Ῥητορεύουσα γλῶσσα,
οὐ δυνήσεται, Μῆτερ, ἐκδιηγήσασθαι,
πλῆθος ἀρετῶν σου,
καὶ ἀγάπην ἣν δείκνυς ἀείποτε,
πρὸς τοὺς χριστωνύμους,
οὓς ὥσπερ τέκνα γνήσιά σου,
ἐκ ποικίλων φυλάττεις συμπτώσεων.

*Ὠδὴ Ϛ΄. Ἱλάσθητί μοι, Σωτήρ.*

Τριάδος τὴν φωταυγῆ,
πίστιν λαμπρῶς ἀνεκήρυξας,
καὶ πλάνην σκοτοειδῆ,
τοῦ Μωάμεθ ἤλεγξας,
θεῖε Ἀγαθάγγελε,
τῶν Νεομαρτύρων,
ἰσοστάσιε καὶ σύμψυχε.

Ὑπέδυς ρόλον σοφῶς,
τοῦ Μωϋσέως καὶ ἤνεγκας,
τὰ ἄνω κάτω καλῶς,
δυσσεβῶν βουλεύματα,
μάρτυς Ἀγαθάγγελε,
καὶ πιστοὺς ἐῤῥύσω,
ἐκ κινδύνου τῆς ἀρνήσεως.

Ῥευμάτων ψυχοβλαβῶν,
τοὺς ὀχετοὺς ἀνεστόμωσας,
καὶ ὥσπερ ὁ Μιχαήλ.
θεῖε Ἀγαθάγγελε,
Ἄρχιππον διέσωσε,
ἀδελφοὺς τῇ πίστει,
σὺ ὡς ἄγγελος διέσωσας.
*Θεοτοκίον*

Ἱλάσθητι τῷ λαῷ,
τῶν χριστωνύμων, Πανάμωμε,
πολλὰ γὰρ πταίει Θεῷ,
ἄκων καὶ βουλόμενος·
ὅθεν ἀπορούμενος,
ἄλλην τίνα ἕξει,
εἰ μὴ Σὲ πρέσβιν εὐΐλατον;

Κοντάκιον.
Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Τοῦ φωτὸς πιμπλάμενος,
Ὀρθοδοξίας, τρισμάκαρ,
Ἄγαρ οὐχ ὑπέμεινας,
ὁρᾶν δυσσέβειαν πλάνης,
θέλουσαν,
λαὸν Κυρίου ἀποπλανῆσαι,
ἴσχυσας,
ἀνακαλέσαι βουλὰς ἀνόμων,
ὑφ᾽ ὧν τέτμησαι τὴν κάραν,
ὑπὲρ Δεσπότου,
κλεινὲ Ἀγαθάγγελε.

Ὁ Οἶκος

Φιλαδέλφου ἀγάπης τεκμήριον,
τοῦτο πέφυκεν,
τὰς ψυχὰς τῶν πλησίον τιμιωτέρας λογίζεσθαι,
ἢ τὰς ἑαυτῶν,
τοὺς πιστεύοντας τῷ Δεσπότῃ.
Ὅθεν, Ἅγιε,
βλέπων ὀργῶσαν τὴν τοῦ καμηλίτου πλάνην,
καὶ ἀπειλοῦσαν δεινῶς λαὸν χριστώνυμον,
τοῦτον τῆς ἐσχάτης κακίας διέσωσας,
πᾶσαν μηχανὴν σοφῶς ἐργασάμενος·
διὸ καὶ τοῦ μαρτυρικοῦ θανάτου

χαίρων γευσάμενος,
νῦν πρεσβεύεις ὑπὲρ τῶν σὲ τιμώντων,
νεομαρτύρων δόξα καὶ καύχημα,
κλεινὲ Ἀγαθάγγελε.

Τὸ Συναξάριον

Τῇ κζ´τοῦ μηνὸς Φεβρουαρίου μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου Νεομάρτυρος Ἀγαθαγγέλου, ξίφει μαρτυρήσαντος ἐν Μοναστηρίῳ (Μπίτολα) τῆς Μακεδονίας, ἐν ἔτει σωτηρίῳ ᾳψκζ´.

*Στίχοι*

Ἀγγέλων συνόμιλος ἐγένου μάρτυς,
Ἀγαθάγγελε, Μωάμεθ ἀπελέγξας.
Εἰκάδι ἑβδόμῃ Νόες Ἀγαθάγγελον ἔνθεν ἄειραν.

*Ὑπόμνημα γεγλυμμένον ἐπὶ τῆς ἁγίας λειψανοθήκης τοῦ Νεομάρτυρος*

*"Αὕτη ἡ ἱερὰ κάρα ὑπάρχει νεομάρτυρος Ἀγαθαγγέλου, ὅστις ἐμαρτύρησε εἰς 1727 διὰ αἰτίαν· ὅλοι οἱ Ἀγαρινοὶ ἔχοντας κακὴν συνήθειαν καὶ εἰς τὸν καιρὸν τοῦ μπαϊραμίου των τρεῖς ἡμέρες ὅσους χριστιανοὺς εὕρισκον τοὺς ἐτούρκευον, αὐτὸς μὴ ὑποφέρων αὐτὰ ἐκίνησεν εἰς τὴν Βασιλεία κάμνοντας φερμάνι Θεοῦ συνεργήσατο ἐχάλασαν· αὐτοὶ δὲ μὴ ὑποφέροντες ἀνεῖλον αὐτὸν καὶ ἐκαλλωπίσθη ἡ αὐτοῦ κάρα εἰς τὰς ἡμέρας κὺρ Γρηγορίου Πελαγωνίας ἀπὸ τῶν ἱερέων τῶν τότε· Σακελλάρης Παπαγεώργιος, Σακελίων Παπαγεώργιος, Παπαχρίστου, Παπατραϊανός, Παπαναούμ, Παπαβαγγέλης, Παπαβασίλης, Παπαγεώργιος. 1827 Φεβρουαρίου 25."*

*καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ τῆς ἡμέρας*

Ταῖς τῶν σῶν ῾Αγίων πρεσβείαις, Χριστὲ ὁ Θεός,
ἐλέησον καὶ σῶσον ἡμᾶς. ᾿Αμήν.

*Ὠδὴ ζ΄. Παῖδες ἑβραίων.*

῎Ονησιν εὗρες ὑπερτάτην,
τὸ μαρτύριον τῆς σῆς φιλαδελφίας,
ὡς ποτὲ ὁ Σαούλ,
διερευνῶν τὰς ὄνους,
τὴν βασιλείαν εὕρατο,
ἐκ Θεοῦ τίμιον δῶρον.
Κάραν ὑπέθηκας Κυρίῳ,
διὰ πίστεως καὶ πράξεως ἐνθέου,
διὸ πάσχων σφοδρῶς
ὁρῶν κεκακωμένους,
τοὺς ὁμοπίστους ἤθλησας,
᾿Αγαθάγγελε, γενναίως.

῎Αγγελοι ἔχουσι ψυχήν σου,
᾿Αγαθάγγελε, ἐν θείᾳ Βασιλείᾳ,
ἐξ ἧς πέμπε ἡμῖν,
τὴν Χάριν τοῦ Κυρίου,
ὡς τὸ εὐπαῤῥησίαστον,
νῦν πλουτῶν τῷ μαρτυρίῳ.

*Θεοτοκίον*

Νοῦν ἁγιάζοις, Θεοτόκε,
τῶν τιμώντων σε τῇ μνήμῃ τοῦ Υἱοῦ σου,
οὐ γὰρ ἄλλον ἐστί,
γλυκύτερον τῆς τούτου,
μνήμης τε καὶ αἰσθήσεως,
ὡς διδάσκουσι Πατέρες.

*Ὠδὴ η΄. Τὸν ἐν ὄρει ἁγίῳ.*

῾Ωραιώθης ἐνώπιον Κυρίου,

᾿Αγαθάγγελε,
καὶ ἔσπευσας τεθνάναι,
δι᾿ ἀγάπην Αὐτοῦ,
Ὃς δέδωκε τῷ κόσμῳ,
ἀλήθειαν τὴν σῴζουσαν,
ἣν ἐκήρυξας ἀπίστοις.

Νέος μάρτυς ὡς παλαιοὶ τοῖς τρόποις,
᾿Αγαθάγγελε,
ἐδείχθης ὁμοπίστοις,
ὧν στηρίξας καλῶς,
ψυχὰς σοῖς θείοις λόγοις,
ἐστήριξας ὑπέρτερον,
τῇ τιμίᾳ σου ἀθλήσει.

Οὐ δαιμόνων παγίδες ψυχοφθόροι,
σοῦ κατίσχυσαν,
οὐδὲ τῶν παρανόμων,
ὑποσχέσεις πολλαί,
κλονῆσαι σὴν ἀγάπην,
ἣν εἶχες πρὸς τὸν Κύριον,
᾿Αγαθάγγελε γενναῖε.

*Θεοτοκίον*

῾Υπὲρ πάντα τὰ κτίσματα, Παρθένε,
σὺ δεδόξασαι,
χωρίον γενομένη,
Ποιητοῦ τοῦ παντός,
Ὃς δῶρον σε δεδώκει,
πιστοῖς καὶ καταφύγιον,
ἐν κινδύνοις καὶ ἀνάγκαις.

*Ὠδὴ θ΄. ᾿Εξέστη ἐπὶ τούτῳ.*

Τὸ σῶμά σου κατέλιπες ἐπὶ γῆς,
ἀδελφοῖς σου γλυκεῖαν παράκλησιν,

τὴν δὲ ψυχήν,
ἔχουσιν Ἁγίων Πάντων χοροί,
μοναὶ αἱ ἐπουράνιαι,
τοῦ ἠγαπημένου σοι Ἰησοῦ,
Ὃν πάντοτε δυσώπει,
ὑπὲρ τῶν σὲ τιμώντων,
κλέος μαρτύρων Ἀγαθάγγελε.

Ὁρῶν πλημμύραν, Μάρτυς, ἀγαρηνῶν,
ἀντιχρίστου τὴν θέσιν κατέχουσαν,
καὶ πάσης γῆς,
ἀφανῖσαι θέλουσαν παντελῶς,
πίστιν χριστοπαράδοτον,
ἐν καυχήσει ὄντωςπ δαιμονικῇ,
Νεομαρτύρων πάντων,
χορὸς φάνητε τεῖχος,
ἐξασθενοῦντες ταύτης κύματα.

Σοφίᾳ ἀντηλλάξω τὰ χοϊκά,
θησαυρῷ οὐρανίῳ, μακάριε,
καὶ τοῦ φωτός,
τοῦ ἀδύτου πόθῳ κατατρυφῶν,
ὡς ὢν φιλαδελφότατος,
ἔτι νῦν μειζότερον ἢ τὸ πρίν,
μὴ παύσῃ ἱκετεύων,
ὑπὲρ ἡμῶν Δεσπότην,
πιστῶν ἁπάντων, Ἀγαθάγγελε.

*Θεοτοκίον*

Ἀγγέλων ἡδυτάτη κατατρυφή,
καὶ Ἁγίων ἁπάντων ἀπόλαυσις,
οὖσα Ἁγνή,
ἄκουσον δεήσεων τὰς φωνάς,
τῶν πόθῳ προστρεχόντων σοι,
καὶ τῆς βασιλείας τοῦ Ἰησοῦ,
ὑπάνοιξον τὰς πύλας,

πρεσβείαις σου ἁγίαις,
τοῖς σὲ ὑμνοῦσι, Παναμώμητε.

*Ἐξαποστειλάριον*
*Ἦχος β΄. Τοῖς μαθηταῖς συνέλθωμεν.*

Ἀγάπῃ ἐκκαιόμενος, τοῦ Κυρίου σου, μάρτυς,
πλάνην τῆς Ἄγαρ ἤλεγξας, πρὸ τυράννων ἀνόμων,
καὶ τῶν πιστῶν ἐγεγόνεις, παρακλήτωρ ἐν θλίψει,
κινδύνου ἐξομώσεως, ἐκλυτρούμενος τούτους,
καὶ εἰς Χριστοῦ, πίστιν μένειν πάντας στεῤῥῶς διδάξας,
τὸ στέφος τῆς ἀθλήσεως, Ἀγαθάγγελε, εὗρες.

*Θεοτοκίον, ὅμοιον*

Σὲ κιβωτὸν καὶ τράπεζαν, καὶ λυχνίαν καὶ στάμνον,
καὶ ὄρος καὶ παλάτιον, θρόνον, κλίνην καὶ πύλην,
τοῦ Βασιλέως τῆς δόξης, τὴν ἁγίαν Παρθένον,
καὶ Θεοτόκον ἅπαντες, ἀνυμνοῦμεν ἐκ πόθου,
χριστιανῶν, σκέπη γὰρ ὑπάρχεις καὶ σωτηρία,
καὶ ἀῤῥαγὴς ὑπέρμαχος, καὶ προστάτις καὶ φύλαξ.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ
*Ψάλλομεν στιχηρὰ προσόμοια.*
*Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσι.*

Φιλομάρτυρες χαίροντες, τὴν σὴν μνήμην γεραίρουσιν,
θεῖε Ἀγαθάγγελε καὶ δοξάζουσι,
τὸν σὲ δοξάσαντα Κύριον,
Ὃν σφόδρα ἠγάπησας,καὶ αὐχένα σεαυτοῦ,
εἰς μαρτύριον δέδωκας, διὸ εἴληφας,
τὴν ἀμάραντον δόξαν καὶ τὸ στέφος,
ἐν Σιὼν ἐπουρανίῳ, σὺν Ἀσωμάτοις δυνάμεσι.

Καθορῶν πλάνης κύματα, ἀπειλοῦντα συνδούλους σου,
νυσταγμὸν οὐκ ἔδωκας τοῖς βλεφάροις σου,

ἕως φρονίμως ἀνέτρεψας, ἀθέων βουλεύματα,
καὶ ἐῤῥύσω τοὺς πτωχούς, ἀδελφοὺς τῆς ἀρνήσεως,
ὅθεν γέγονας, ἀναιρέτης τῆς πλάνης τοῦ Μωάμεθ,
ὂν ἀπέδειξας ἀγύρτην, λόγοις σοφοῖς, Ἀγαθάγγελε.

Μοναστήριον ἔλιπες, καὶ μονὰς εὗρες ἅγιε,
τὰς ἐπουρανίους, ἃς ἐπεπόθησας,
καὶ δι᾽ ἃς αἷμα ἐξέχεας, γινώσκων τὴν κρείττονα,
ἐν Χριστῷ διαγωγήν, ἣν οὐδεὶς αἴρειν δύναται,
ὅθεν δέδειξαι, Ἐκκλησίας αἰώνιος εὐχέτης,
καὶ εἰκὼν ἔρωτος θείου, πιστοῖς, σοφὲ Ἀγαθάγγελε.

Τῶν τιμίων λειψάνων σου, θήκην ἔχοντες, Ἅγιε,
τοῦ Ἁγίου Πνεύματος πoριζόμεθα,
τὰς εὐλογίας ἑκάστοτε, καὶ γὰρ ἀνεκφοίτητος,
ἡ ἐνέργεια αὐτοῦ, Παλαμᾶς ὥσπερ εἴρηκεν, ὁ Γρηγόριος,
διὸ πόθῳ πολλῷ προσπίπτομέν σοι,
Ἀγαθάγγελε, αἰτοῦντες, τὰ σωτηρίᾳ συντείνοντα.

*Δόξα. Ἦχος πλ.δ΄.*

Ἀγαθὴν ἐπωνυμίαν κληρωσάμενος,
τοῖς ἔργοις σου ταύτην συνήρμοσας, Ἀγαθάγγελε μακάριε.
Πλάνην γὰρ τῆς σκοτομόρφου Ἄγαρ ἀπελέγξας,
καὶ τοὺς ἀδελφοὺς τῆς ἀποστασίας προστατεύσας,
θεολόγος ἐξ Ἁγίου Πνεύματος γέγονας.
Τοῦ πόθου σου δὲ τὸ πλήρωμα εὑρὼν διὰ τοῦ μαρτυρίου,
νῦν ἐν οὐρανοῖς δεδόξασαι ὑπερβαλλόντως,
καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν,
Νεομαρτύρων τερπνὸν ἐγκαλλώπισμα.

*Καὶ νῦν.* Δέσποινα, πρόσδεξαι.

*Μεγαλυνάρια*

Ἄγγελος ἐδείχθης χριστιανοῖς, τῆς ἀποστασίας,

www.tezaurliturgic.ro

προστατεύσας αὐτοὺς σοφῶς· ὅθεν μαρτυρίου
ἀπείληφας τὸ στέφος,
ἐξ ἐπιγόνων Ἄγαρ, ὦ Ἀγαθάγγελε.

Τοῦ φωτὸς πιμπλάμενος τοῦ Χριστοῦ,
οὐκ ἠνέσχου σκότος, τοῦ Μωάμεθ τοῦ δυσσεβοῦς,
ὅθεν θείοις λόγοις, ἀνεῖλες μύθους τούτου,
καὶ Μάρτυς ἀπεφάνθης, ὦ Ἀγαθάγγελε.

Κάραν σου κατέχουσα ἡ Μονή, θείου Γεωργίου,
Ἀγαθάγγελε ἱερέ, σὲ καθικετεύει,
ὅπως Χριστῷ πρεσβεύῃς, ὑπὲρ τῶν ἀσκουμένων,
ὧδε μακάριε.

*Στίχοι*

Συνὼν Ἀγγέλοις, Ἀγαθάγγελε μάρτυς,
Ἀγγελικοὺς δίδαξον ἡμῖν τοὺς τρόπους.

Συνετέθη, σὺν Θεῷ ἁγίῳ, ἡ παροῦσα ἀκολουθία ἐν τῇ Ἱερᾷ Μονῇ Σίμωνος Πέτρας Ἁγίου Ὄρους Ἄθω, τῇ 21. 12. 2002.